9 *χλαμύδιον ἁρπάσαντα καὶ πέλτην οἴχεσθαι στρατευσόμενον· Βακχὶς δὲ ἡ τὸν ἐραστὴν φιλοῦσα ἀπέθανε. ῥᾴων γέγονα πρὸς σὲ ἀποδυράμενος, Εὐθύκλεις φίλτατε. ἡδὺ γάρ μοί τι δοκεῖ περὶ ἐκείνης καὶ λαλεῖν καὶ γράφειν· οὐδὲν γὰρ ἢ τὸ μεμνῆσθαι καταλέλειπται. ἔρρωσο.*

11 [I 39].

Μεγάρα Βακχίδι.

Σοὶ μόνῃ ἐραστὴς γέγονεν, ὃν φιλεῖς οὕτως ὥστε μηδ' ἀκαρῆ ποτ' αὐτοῦ διαζευχθῆναι δύνασθαι. τῆς ἀηδίας, δέσποινα Ἀφροδίτη. κληθεῖσα
s. pag. 50 *ὑπὸ Γλυκέρας ἐπὶ θυσίαν ἐκ τοσούτου χρόνου — ἀπὸ τῶν Διονυσίων γὰρ ἡμῖν ἐπήγγειλεν — οὐχ ἥκεις, δι' ἐκεῖνον, οἶμαι, οὐδὲ τὰς φίλας*
2 *ἰδεῖν γυναῖκας ἀνασχομένη. σώφρων γέγονας σὺ καὶ φιλεῖς τὸν ἐραστήν, μακαρία τῆς εὐφημίας· ἡμεῖς δὲ πόρναι καὶ ἀκόλαστοι. ὑπῆρξε καὶ Φίλωνι συκίνη βακτηρία· ὀργίζομαι γὰρ νὴ τὴν μεγάλην θεόν. πᾶσαι παρῆμεν, Θεττάλη, Μοσχάριον, Θαΐς, Ἀνθράκιον, Πετάλη, Θρυαλλίς, Μυρρίνη, Χρυσίον, Ζευξίππη· ὅπου καὶ Φιλουμένη, καίτοι γεγαμημένη*

χλαμύδιον] *χλανίδιον* **A**. — § **9.** *λαλεῖν*] *λέγειν* **A**. „Ridiculum est *λαλεῖν*, sed omnes dudum ita errabant." Cob. — *κατα* ante *λέλειπται* om. **A**.

11 [I 39].

§ **1.** *ὥστε μηδ' ἀκαρῆ ποτ'* scripsi] *ὥστε μηδ' ἀκριβῶς* **A**, *ὥστε τὸ μηδὲ ἀκριβῶς* **C** *Δ Vulg.*, *ὡς τὸ μηδ' ἀκριβῶς Flor.* et *Π* (ubi mrg. *ὥστε*), *ὥστε μηδ' ἄχρι βωμῶν* vel *ὥστε μηδὲ γρὺ ὅσον* Bergl., *ὥστε μηδ' ἀκαρῆ πως* Arnald. Misc. Obss. V p. 61 **w. s.**, *ὥστε τοι οὐδὲ ἀκαρῆ πως* Herel. in Act. Klotz. III p. 92, *ὥστε μηδ' ἀκαριαίως* Hemst. Mein. **m.**, *ὥστε μηδ' ἀκαρῆ* (om. *πως*) Cob. **h.** Quia adv. *ἀκαριαίως* aliunde fere ignotum est, recepi conject. Arnaldi pro *πως* tamen (quod vix intelligitur) scripto *ποτ'*. — *διαζευχθῆναι*] „usitatius est *διαζυγῆναι*." Cob. — *ἐπὶ θυσίαν* add. *Flor. cod. Dorv.*, rec. Seil. **m. h.** — *ἐκ τοσούτου χρόνου* Cob.] *εἰς τοσοῦτον χρόνον Vulg.* **s.** et *codd.* praeter *Flor. cod. Dorv.* qui om. *εἰς*. Del. *εἰς* Bergl. Wagn., sed acc. (qui bonum sensum vix praebet) potius irrepsit postquam ЄΙC abiit in ЄΙC. — *τῶν* (ante *Διον.*)] *τὴν Flor.* — *ἡμῖν Flor. Π* **A** *M* **C s. m. h.**] *ὑμῖν* cett. codd. *Vulg.* **b. w.** — *ἐπήγγ.* Hemst. confirm. *Flor. Π* **A** *M Δ* rec. **s. m. h.**] *ἀπήγγ.* cett. codd. *Vulg.* — *δι' ἐκεῖνον οἶμαι* scripsi] *εἰ μὴ δι' ἐκείνην codd. edd.*, unde ingeniose (nam non video cur Mein. eum „parum feliciter" conjecisse dicat) *οἶμαι δι' ἐκεῖνον* Bergl., *οὐ μὴν δι' ἐκείνην ⟨μόνον, ἀλλ'⟩ οὐδὲ τὰς κ. τ. λ.* Mein., sed illud *δι' ἐκείνην* (i. e. *διὰ Γλυκέραν*) ideo minime placet quia Glycera ita sine ulla causa a Megarae amicis secluderetur. Immo rectissime Bergl. *ἐκεῖνον* (nempe *τὸν ἐραστήν*) requiri intellexit; quem hac in re secutus *οἶμαι* tamen flagitante sententia in parenthesi post *δι' ἐκεῖνον* collocavi. Minus verisimilis videtur emendandi ratio Hermanni, qui voluit aut *ἤδη δι' ἐκεῖνον* aut *εἰ μὴ ἐκείνην ἀλλ' οὐδὲ κ. τ. λ.* (quod vix intelligo). — § **2.** *δὲ πόρναι Flor. Π Δ* **A** *M* **s. m. h.**] *δὲ καὶ πόρναι* cett. codd. *Vulg.* **b. w.** — *παρῆμεν* Bergl. **s. m. h.**] *γὰρ ἦμεν codd. Vulg.* **b.** — Nomina *Μοσχάριον—Θρύαλλις* add. *Flor. Π* Seil. **m. h.** — *Ζευξίππη* **h.**] *Εὐξ. codd.* cett. edd. Vid. ad III 14 [III 50] § 1. — *ὅπου καὶ*] *ὀψὲ καὶ* Jacobsius. Alii putabant in his verbis latere meretricis nomen. Proponit *ἐπεὶ καὶ* Polak. — Pro *Φιλουμένη* hab. ***Φιλομένη*** **a.**,

m. pag. 26 *προσφάτως καὶ ζηλοτυπουμένη, τὸ καλὸν κατακοιμίσασα τὸν ἄνδρα ὀψὲ*
3 *μὲν ὅμως δὲ παρῆν. σὺ δ' ἡμῖν μόνη τὸν Ἄδωνιν περιέψυχες, μή που*
καταλειφθέντα αὐτὸν ὑπὸ σοῦ τῆς Ἀφροδίτης ἡ Περσεφόνη παραλάβῃ.
οἷον ἡμῶν ἐγένετο τὸ συμπόσιον — τί γὰρ οὐχ ἅψομαί σου τῆς καρδίας; —
ὅσων χαρίτων πλῆρες. ᾠδαὶ σκώμματα πότος εἰς ἀλεκτρυόνων ᾠδὰς
μύρα στέφανοι τραγήματα. ὑπόσκιός τισι δάφναις ἦν ἡ κατάκλισις· ἓν
4 *μόνον ἡμῖν ἔλειπε, σύ, τὰ δ' ἄλλα οὔ. πολλάκις ἐκραιπαλήσαμεν, οὕτω*
δὲ ἡδέως ὀλιγάκις. τὸ δ' οὖν πλείστην ἡμῖν παρασκευάσαν τέρψιν, δεινή
s. pag. 51 *τις φιλονεικία κατέσχε Θρυαλλίδα καὶ Μυρρίνην ὑπὲρ τῆς πυγῆς ποτέρα*
κρείττω καὶ ἁπαλωτέραν ἐπιδείξει. καὶ πρώτη Μυρρίνη τὸ ζώνιον
λύσασα — βόμβυξ δ' ἦν τὸ χιτώνιον — δι' αὐτοῦ τρέμουσαν οἷον
πιμελὴν ἢ πηκτὸν γάλα τὴν ὀσφῦν ἀνεσάλευσεν, ὑποβλέπουσα εἰς τοὐπίσω
πρὸς τὰ κινήματα τῆς πυγῆς· ἠρέμα δ' οἷον ἐνεργοῦσά τι ἐρωτικὸν
5 *ὑπεστέναξεν, ὥστε με νὴ τὴν Ἀφροδίτην καταπλαγῆναι. οὐ μὴν ἀπεῖπέ*
γε ἡ Θρυαλλίς, ἀλλὰ τῇ ἀκολασίᾳ παρευδοκίμησεν αὐτήν· 'οὐ γὰρ διὰ
παραπετασμάτων ἐγώ' φησίν 'ἀγωνιοῦμαι, οὐδὲ ἀκκιζομένη, ἀλλ' οἷον
ἐν γυμνικῷ· καὶ γὰρ οὐ φιλεῖ προφάσεις ἀγών.' ἀπεδύσατο τὸ χιτώνιον

---

errore ut videtur. — *τὸ καλὸν* Hemst. Valck. ad Theocr. X 3, rec. **s. m.**] *τὸν καλὸν codd. Vulg.* **h.** Ad lect. rec. cf. IV 8 [I 36] § 3. — *κατακοιμίσασα* Cob.] *ἀποκοιμίσασα Vulg.* **s. h.** et *codd.* praeter **A C** qui *ἀποκοιμήσασα* quod rec. **m.** vertens 'postquam effecit ut maritus secubaret'. At verb. *ἀποκοιμίζειν* (vel *ἀποκοιμᾶν*) hoc saltem sensu aliunde ignotum est. Etiam sqq., Philumenam nempe sero demum venisse, indicant illam domo abiisse 'sopito marito' ut vertit Bergl. — § **3.** *δ' ἡμῖν*] *ἡμῖν* om. **A**, *δ' ἡμῶν* Herel. in act. Klotz. III p. 92 sine justa causa. — *μόνη*] om. **A.** — *Περσεφόνη*] „Att. *Φερσεφόνη*". Cob. — *ἡμῶν*] *ἡμῖν* Wagn. — *ὑπόσκιός τισι* vir quidam doctus **w. s. m.**] *ὑποσκίοις τισὶ Codd. Vulg.* **b.**, *ὑπὸ συσκίοις τισὶ* Bergl., *ὑπόσκιός τις* **h.**, sed incognitus ille v. d. locum persanasse videtur. — *ἔλειπε Vulg.* **b.**] *ἔλιπε codd.* **s. m.**, *ἐνέλειπε* **h.** fort. recte. — Verba sqq. ita legit Nab.: *τὰ δ' ἄλλα οὐ πολλάκις ἐκραιπαλήσαμεν, οὕτω δ' ἡδέως* [*ὀλιγάκις*]. Voluitne *ἐκραιπαλήσαμεν οὕτως ἡδέως*? Sed non credo quicquam esse mutandum. — § **4.** *δ' οὖν* Seil. **s. m.**] *γοῦν codd. Vulg.* **b.** etiamque **h.**, sed recte Herch. deinde *δ' οὖν* restituit. — *ἐπιδείξει*] *ἐπιδείξῃ* **A.** — *πιμελὴν ἢ πηκτὸν γάλα* Arnald. misc. obss. V p. 63 (qui quidem errore *πιμελὴ* quod rec. **w.**) rec. **s. m. h.**] *τι μελίπηκτον γάλα codd.* (praeter **C** qui *τι μελὶ πηκτὸν γάλα*) et *Vulg.* **b.** „verti quasi esset *νεόπηκτον γάλα*". Bergl. — *ὀσφῦν*] *ὀσφύν* et sic deinceps **h.**, sed cf. Herod. *π. μον. λέξ.* p. 31, 15; Arcad. p. 92. Quia praeterea codd. omnes hab. *ὀσφῦν*, mutare nolui. — *ἀνεσάλευσεν*] *ἐσάλευσεν* **A.** — *ὑποβλέπουσα*] „immo *ἀποβλέπουσα* cf. Lex. Plat. Astii in his vocib." Hirsch. fort. recte. — *τι*] del. **h.** sine justa causa, ut videtur. — *με* **h.**] *ἐμὲ* cett. edd. et *codd.*, quod minus aptum est. — § **5.** *γε*] om. **A.** — *παρευδοκίμησεν*] *παρηυδοκίμησεν* **h.**, sed. vid. ad III 21 [III 57] § 1. — *ἀγωνιοῦμαι* **m. h.**] *ἀγωνίσομαι codd. Vulg.* **s.** Vid. III 13 [III 49] § 3. — *ἀκκιζ. Flor. II* **A w. s. m. h**] *ἀκιζ.* cett. codd. *Vulg.* — *ἀγών* Seil. **m. h.**] *ἀγών codd. Vulg.* **s.** — *ἀπεδύσατο τὸ*] *ἀποδῦσα δὴ τὸ* Cob. (qui tamen concedit Alciphronem

*καὶ μικρὸν ἀποσιμώσασα τὴν ὀσφῦν 'ἰδού, σκόπει τὸ χρῶμα' φησίν
'ὡς ἀκραιφνές, Μυρρίνη, ὡς ἀκήρατον, ὡς καθαρόν, τὰ παραπόρφυρα
τῶν ἰσχίων ταυτί, τὴν ἐπὶ τοὺς μηροὺς ἔγκλισιν, τὸ μήτε ὑπέρογκον
6 αὐτῶν μήτε ἄσαρκον, τοὺς γελασίνους ἐπ' ἄκρων. ἀλλ' οὐ τρέμει νὴ
Δία' ⟨φησὶν⟩ ἅμ' ὑπομειδιῶσα 'ὥσπερ ἡ Μυρρίνης'. καὶ τοσοῦτον
παλμὸν ἐξειργάσατο τῆς πυγῆς, καὶ ἅπασαν αὐτὴν ὑπὲρ τὴν ὀσφῦν
s. pag. 52 τῇδε καὶ τῇδε ὥσπερ ῥέουσαν περιεδίνησεν, ὥστε ἀνακροτῆσαι πάσας
καὶ νικᾶν ἀποφήνασθαι τὴν Θρυαλλίδα. ἐγένοντο δὲ καὶ περιάλλων*

---

illam „barbaram formam" usurpare potuisse), *καὶ ἀποδῦσα τὸ* Herch. **h.** — *ἀποσιμώσασα* Schneider. in lex. Gr. s. v. *ἀποσιμόω*, prob. Nauck.] *ὑποσιμώσασα* libri et *edd.*, sed cf. Suid. s. v *ἀποσιμῶσαι.* Praeterea *ὑποσιμόω* (quod verbum aliunde ignotum est) minus aptum videtur post *μικρὸν.* — *ἀκραιφνές* **h.**] *ἀκριβῶς Flor. Δ* **A C** *K M*, *ἀκριβὲς* cett. codd. *Vulg.* **s. m.**, *ἄκρηβες* Nauck., sed neque *χρῶμα ἄκρηβες* placet, neque aptum videtur ante *ἀκήρατον* et *καθαρόν.* Lect. rec. contra aptissima est: etiam hic patet rhetorem amare synonyma conjuncta, de quibus vid. ad I 13 [III 3] § 1. — *παραπόρφυρα Δ K* **s. m. h.**] *παραπορφυρᾶ Flor.* **A**, *παρὰ πορφυρᾶ* **C**, *πορφυρᾶ* om. *παρα Vulg.* **b. w.** Corruptum esse locum censet Mein., qui, proposito sed mox denuo abjecto *περιπόρφυρα*, conjicit *τὰ παρὰ πορφύραν πορφυρᾶ* cl. Anth. Pal. V 35. Fort. tamen *παρα* ortum est e sq. *πορ.* Expectem aut *τὰ πορφυρᾶ ἴσχια ταυτί* (cl. Anth. Pal. V 54, ubi *ῥοδοειδέϊ τέρπεο πυγῇ*), aut *τὸ πορφυροῦν τῶν ἰσχίων τουτί* (ut in sqq. *τὸ μήτε ὑπέρογκον αὐτῶν μήτε ἄσαρκον*). Pro *ἰσχίων* quod restituit Bergl. rec. edd. sqq. confirm. *Flor. Π*, habent *ἰσχύων* cett. codd. *Vulg.* **b.** — *ἔγκλισιν* Hemst. Ruhnk. Mein. **m. h.**] *ἔγκρισιν codd.* cett. edd. sine sensu. Verba haec *τὴν—ἔγκλισιν* e margine venisse censet Mein. quod habet speciem cum sqq. *αὐτῶν* et *ἄκρων* spectare videantur *τὰ ἴσχια*, non *τοὺς μηρούς.* — *αὐτῶν* Arnald. Reisk. Wagn. confirm. *Flor. Δ M*] *αὐτῷ* **C**, *αὐτῆς* **h.**, sed vid. quae modo diximus. — § **6.** *ἀλλ'—Μυρρίνης* **s.** (qui tamen ⟨*ἔφη*⟩, non ⟨*φησὶν*⟩) et **m.**] *'ἀλλ' οὐ τρέμει νὴ Δία' ἀλλ' ὑπομειδιῶσα 'ὥσπερ ἡ Μυρρίνης' Flor. Π Δ* **A** *M K* (in cod. *Π* litt. *ς* nominis *Μυρρίνης* expuncta est) rec. **h.**, idem sed *Μυρρίνη* cett. codd. *Vulg.* **s.**, *ἀλλ' οὐ τρέμει νὴ Δία ὥσπερ ἡ Μυρρίνης, ἀλλ' ὑπομειδιῶσι'* vel potius *ὑπομειδιᾷ'* Bergl. (qui: „*ὑπομειδιᾶν* autem suas nates dicit, quia gelasinos iis tribuerat."), *ἀλλ' ὑπομειδιῶσα καὶ ἐπιστρεφομένη ὥσπερ ἡ Μυρρίνη* Reisk., *ἀλλ' οὐ τρέμει νὴ Δία' καὶ ἅμα ὑπομειδιῶσα ὥσπερ ἡ Μυρρίνη, τοσοῦτον κ. τ. λ.* Jacobs. ad Ach. Tat. p. 829, *ἀλλ' οὐ τρ. νὴ Δία' ἀλλ' ὑπομειδιῶσα ὥσπερ ἡ Μυρρίνη ⟨ἐκίνησε⟩ καὶ τοσοῦτον κ. τ. λ.* idem in Anth. Pal. III p. 59. Dubitabundus Seil. et Mein. secutus sum. — *ὥσπερ ῥέουσαν*] *ὥσπερ δέουσαν* **C** *K*, *ἀσπαίρουσαν* Lennep., sed mutatione vix opus erat. — *ἀνακροτῆσαι*] *ἀνασκιρτῆσαι* **A**, quod, ut plura alia in hoc cod., librario deberi videtur. — *νικᾶν ἀποφ. τὴν Θρυαλλίδα* Cob.] *νίκην ἀποφ. τῆς Θρυαλλίδος codd. Vulg.* **s. m.**, de quibus recte Cob.: „et alio nomine haec suspecta sunt, et quod *τὴν νίκην* utique scriptum oportuit". Ad lect. rec. autem confert ar. Ran. 1473. Maluit Herch. edere ⟨*τὴν*⟩ *νίκην ἀποφ. τῆς Θρυαλλίδος*, sed genit. in codd. ortus esse videtur postquam *νικᾶν* abiit in *νίκην.* — *ἐγένοντο*] *ἐγένετο* **C.** — *περιάλλων* Mein. **h.**] *περὶ ἄλλων codd. Vulg.* **s. m.** „male abundat praepositio". Cob. recte. Ad conject. suam Mein.

συγκρίσεις καὶ περὶ μασταρίων ἀγῶνες .... τῇ μὲν γὰρ Φιλουμένης γαστρὶ ἀντεξετασθῆναι οὐδ' ἡτισοῦν ἐθάρσησεν· ἄτοκος γὰρ ἦν καὶ

7 σφριγῶσα. καταπαννυχίσασαι οὖν καὶ τοὺς ἐραστὰς κακῶς εἰποῦσαι καὶ ἄλλων ἐπιτυχεῖν εὐξάμεναι — ἀεὶ γὰρ ἡδίων ἡ πρόσφατος ἀφροδίτη —

m. pag. 27 ᾠχόμεθα ἔξοινοι, καὶ πολλὰ κατὰ τὴν ὁδὸν κραιπαλήσασαι ἐπεκωμάσαμεν Δεξιμάχῳ κατὰ τὸν χρυσοῦν στενωπόν, ὡς ἐπὶ τὴν ἄγνον κατῆμεν, πλησίον τῆς Μενέφρονος οἰκίας. ἐρᾷ γὰρ αὐτοῦ Θαῒς κακῶς, καὶ νὴ Δία εἰκότως· ἔναγχος γὰρ πλούσιον κεκληρονόμηκε πατέρα τὸ μειράκιον.

8 νῦν μὲν οὖν συγγνώμην ἔχομέν σοι τῆς ὑπεροψίας, τοῖς Ἀδωνίοις δὲ ἐν Κολλυτῷ ἑστιώμεθα παρὰ τῷ Θεττάλης ἐραστῇ· τὸν γὰρ τῆς Ἀφροδίτης ἐρώμενον ἡ Θεττάλη ⟨περι⟩στέλλει. ὅπως δ' ἥξεις φέρουσα κηπίον καὶ κοράλλιον καὶ τὸν Ἄδωνιν ὃν νῦν περιψύχεις· μετὰ γὰρ τῶν ἐραστῶν κραιπαλήσομεν. ἔρρωσο.

---

cf. Suid., Phot., Hesych. s. v. et Arcad. p. 54, 10. „Similiter fluctuat interpretatio et scriptura vocis δορίαλλος, quod in eundem sensum dicitur, vid. Lobeck Path. Prol. p. 118". Mein. Adjectivum περίαλλος in re venerea non alienum esse animadvertit Polak. cl. Anth. Pal. V 131. — Post ἀγῶνες lac. sign. collocavit **m. h.** Supplet Mein. ⟨οὐ μὴν περὶ γαστέρων ἠμφισβητοῦμεν⟩. — τῇ **A s. m. h.**] τῆς cett. codd. *Vulg.* — ἐθάρσησεν] ἐθάρρησεν **h.**, sed cf. θαρσαλέως I 7 [I 7]. — § **7.** οὖν **h.**] γοῦν *codd. Vulg.*, unde δ' οὖν Seil. **s. h.**, sed voculae δὲ non locus esse videtur. — ἡδίων] om. **C.** — καὶ πολλὰ *Flor. Π Δ* **A m. h.**] καὶ πολλὰ δὲ **C s.**, πολλὰ δὲ cett. codd. *Vulg.* „aliis fort. πολλὰ δὴ placebit." Mein. Immo καὶ πολλὰ, quod praeb. codd. meliores, aptissimum videtur. — κατῆμεν **s. m. h.**] κάτιμεν *Flor. Π Δ* **A C**, κατιόντι *Vulg.* **b.** — ἐρᾷ] ἐρᾶν *Flor. Π Δ* **C** *M.* — κακῶς] διακαῶς Mein. cl. II 6 [I 27] § 2, III 5 [III 8] § 2, Heliodor. VIII 2 „siquidem κακῶς ἐρᾶν bene dici potest de vero eoque infelici amore, ut I 35" (in hac ed. IV 7) „§ 4, non item de amore petulanti nec nisi pecuniae causa suscepto". Mein. Sed is qui 'misere amat' (vid. ad I 22 [I 19] § 2), non ideo infelici amore depereat necesse est. — πλούσιον—πατέρα] „Att. πλουσίου—πατρὸς". Cob. cl. Phryn. ed Lob. p. 129. Ad acc. cf. v. c. A. Pal. XI 202, Athen. V p. 211 f. — § **8.** Ἀδωνίοις Pierson. Veris. p. 95 **s. m. h.**] ἕως **C**, Ἀλώοις cett. codd. *Vulg.* Cf. sqq. — Κολλυτῷ] κολυτῷ **C.** Κολυττῷ quod habet **a.** errore remansit in **b.** (vid. ad II 32 [III 34] § 1), sed nihilominus legitur etiam in **w.** — ἑστιώμεθα] ἑστιασόμεθα Cob., sed vid. ad II 37 [III 39] § 2. — ⟨περι⟩στέλλει scripsi] ⟨περι⟩στελεῖ Hirsch, qui ad περιστέλλειν recte cf. Plat. Hipp. Maj. pag. 291 d, Hesych. s. v. De forma vid. supra ad ἑστιώμεθα. Vert.: '(mortuum) componet'. — κηπίον Bast. ep. crit. p. 195 (qui quidem κήπιον) rec. **s. m. h.**] κήτιον *Vulg.* **b** et *codd.* praeter **A** qui γήτειον, unde νηττίον 'anaticulam' Reisk., quod tamen quo modo h. l. intelligi possit, non video. — κοράλλιον] κοράλλειον **A**, κοράλιον **s.**, κουράλιον deleto sq. καὶ Wagn, sed vide Bast. l. l. — Ante Ἄδωνιν add. σὸν *Flor. Π cod. Dorv.*, rec. **s. m. h.** Sed recte Cob.: „Verba ὃν νῦν περιψύχεις arguunt σὸν esse expungendum". Dubitat Herch. num σὸν an verba ὃν—περιψύχεις delenda sint, sed quia revera nonnulli libri illud omittunt Cobetum secutus sum.

12 [I 40].

s. pag. 53 **Φιλουμένη Κρίτωνι.**

Τί πολλὰ γράφων ἀνιᾷς σαυτόν; πεντήκοντά μοι χρυσῶν δεῖ καὶ γραμμάτων οὐ δεῖ. εἰ μὲν οὖν φιλεῖς, δός· εἰ δὲ φιλαργυρεῖς, μὴ ἐνόχλει. ἔρρωσο.

13 [II 1].

s. pag. 54 m. pag. 28 **Λάμια Δημητρίῳ.**

Σὺ ταύτης τῆς παρρησίας αἴτιος, ⟨ὃς⟩ τοσοῦτος ὢν βασιλεὺς εἶτα ἐπέτρεψας καὶ ἑταίρᾳ γράφειν σοι, [καὶ] οὐχ ἡγησάμενος δεινὸν ἐντυγχάνειν τοῖς ἐμοῖς γράμμασιν ὅλη μοι ἐντυγχάνων. ἐγώ, δέσποτα Δημήτριε, ὅταν μὲν ἔξω σε θεάσωμαι καὶ ἀκούσω μετὰ τῶν δορυφόρων καὶ τῶν στρατοπέδων καὶ τῶν πρέσβεων καὶ τῶν διαδημάτων, νὴ τὴν Ἀφροδίτην, πέφρικα καὶ δέδοικα καὶ ταράττομαι καὶ ἀποστρέφομαι ὡς τὸν ἥλιον, μὴ ἐπικαῶ τὰ ὄμματα· καὶ τότε μοι ὄντως ὁ πολιορκητὴς εἶναι δοκεῖς
2 *Δημήτριος· οἷον δὲ καὶ βλέπεις τότε, ὡς πικρὸν καὶ πολεμικόν· καὶ*
ἀπιστῶ ἐμαυτῇ καὶ λέγω 'Λάμια, σὺ μετὰ τούτου καθεύδεις; σὺ διὰ
s. pag. 29 *νυκτὸς ὅλης αὐτὸν καταυλεῖς; σοὶ νῦν οὗτος ἐπέσταλκε; σοὶ Γνάθαιναν τὴν*
3 *ἑταίραν συγκρίνει;' καὶ ἠλογημένη σιωπῶ καὶ εὔχομαί σε θεάσασθαι παρ'*
ἑαυτῇ. καὶ ὅταν ἔλθῃς, προσκυνῶ σε· καὶ ὅταν περιπλακείς με καταφιλῇς,

---

12 [I 40].

μοι Arnald. Schrader. rec. **m. h.**] *σοι Vulg.* **s.** et *codd.* In mrg. *Leid.* legitur „*ἴσως μοι*". Defend. vulg. Hemst., sed sententia *μοι* flagitare videtur. — *καὶ*] del. Hirsch.

13 [II 1].

§ **1.** *τῆς*] om. *Π Δ* **C** *K.* — ⟨*ὃς*⟩ et *ἐπέτρεψας* **m. h.**] *ἐπιτρέψας codd. Vulg.* **s.** Iam Wagn. proposuit *ἐπέτρεψας* probb. Seil. Hirsch., sed Mein. intellexit pron. relat. excidisse quo aegre careas. Frustra *Vulg.* defend. Herm. — *τοσοῦτος* add. *cod. Dorv. Flor.* rec. **w. s. m. h.** — [*καὶ*] **m. h.** Ortum esse videtur postquam *ἐπέτρεψας* abiit in *ἐπιτρέψας*. — *Δημήτριε*] *Δάματερ Flor. Π Δ* **C** *K.* — *σε*] om. **C.** — *καὶ ἀκούσω*] del. **h.** sine justa causa. — *τῶν διαδημάτων*] „melius *τοῦ διαδήματος.*" Cob. Ad plural. cf. IV 15 [II 3] § 10. — *καὶ δέδοικα*] om. *Flor. Π.* — *τότε*] *τόδε Flor.* — *Δημήτριος*] *Δάματερ Flor.* — § **2.** *πικρὸν* Arnald. Reisk. Hemst. rec. **w. s. m. h.** confirm. *Flor.*] *μικρὸν* cett. codd. *Vulg.* **b.**, *φρικτὸν* Bergl. — *Λάμια*] ⟨*ὦ*⟩ *Λάμια* Jacobs. sine justa causa. — *τούτου Flor. Δ* **C** *K* **m.**] *τοῦδε* cett. codd. *Vulg.* **s. h.** Ad lect. rec. cf. sq. *οὗτος.* Etiam pro *αὐτὸν* fort. *τοῦτον* scribendum est. — § **3.** *ἠλογημένη*] *διηπορημένη* Cob. Cogitavit de *ἠωρημένη* Polak. Fort. tamen vulg. sana est, cf. Luc.(?) Ocyp. 143. — *εὔχομαί* **m. h.**] *εὐχομένη codd. Vulg.* **s.** ubi litt. *μένη* ex praeced. *ἠλογημένη* ortae esse videntur. — *ἑαυτῇ*] *ἐμαυτῇ* **h.**, sed vid. ad I 5 [I 5] § 1. — *προσκυνῶ σε*] *προσκυνοῦσα Flor. Π Δ* **C** *K.* — *με καταφιλῇς*

*πάλιν πρὸς ἐμαυτὴν τἀναντία λέγω 'οὗτός ἐστιν ὁ πολιορκητής; οὗτός
ἐστιν ὁ ἐν τοῖς στρατοπέδοις; τοῦτον φοβεῖται ⟨ἡ⟩ Μακεδονία, τοῦ-
τον ἡ Ἑλλάς, τοῦτον ἡ Θρᾴκη; νὴ τὴν Ἀφροδίτην, σήμερον αὐτὸν
τοῖς αὐλοῖς ἐκπολιορκήσω καὶ ὄψομαι τί με διαθήσει'. μεῖνον εἰς τρίτην,
παρ' ἐμοὶ γὰρ δειπνήσεις, δέομαι. τὰ Ἀφροδίσια ποιῶ ταῦτα ⟨τὰ⟩ κατ'
4 ἔτος, καὶ ἀγῶνα ἔχω ἀεὶ τὰ πρότερα τοῖς ὑστέροις νικᾶν. ὑποδέξομαι
δή σε ἐπαφροδίτως καὶ ὡς ἔνι μάλιστα ἐπιφανῶς· καὶ γάρ μοι περιου-
σιάσαι γεγένηται ὑπὸ σοῦ, μηδὲν ἀνάξιον τῶν σῶν ἀγαθῶν ἐξ ἐκείνης
τῆς ἱερᾶς νυκτὸς ἔτι πεποιηκυίᾳ, καίτοι σοῦ γε ἐπιτρέποντος ὅπως ἂν
βούλωμαι χρῆσθαι τῷ ἐμῷ σώματι· ἀλλὰ κέχρημαι καλῶς καὶ ἀμίκτως
5 πρὸς ἑτέρους. οὐ ποιήσω τὸ ἑταιρικὸν οὐδὲ ψεύσομαι, δέσποτα, ὡς ἄλλαι*

Hirsch.] *μέγα_φιλῇς codd. Vulg.* **s.**, *⟨ἐμὲ⟩ μέγα φιλῇς* Gloss. Eichst., *με φιλῇς* **m. h.** non male, sed *ΜΕΓΑ* potius ex *ΜΕΚΑΤΑ* ortum est: verb. *καταφιλεῖν* enim ita legitur etiam III 31 [III 67] § 1, IV 15 [II 3] § 14, IV 16 [II 4] § 1, *φιλεῖν* autem hoc sensu nonnisi fragm. V [VI] § 13, quem locum laudat Mein. — *⟨ἡ⟩* **m. h.** recte, cf. sqq. *ἡ Ἑλλάς, ἡ Θρᾴκη.* — *αὐτὸν* Aruald. Reisk. prob. Seil. rec. **m. h.** confirm. *Flor.*] *αὐτοῖς* cett. codd. *Vulg.* **s.** — *τί με διαθήσει*] *τί με διαθήσειν Π Δ Κ, εἰ μειδιάσει* Herm. ingeniose, sed vertendum videtur 'quid me facturus sit' (nempe ille *Πολιορκητὴς ὃν ἐκπολιορκήσω*). Passivum invenitur IV 7 [I 35] § 2. — *μεῖνον*] *μᾶλλον Flor. Π Δ* **C** *Κ* et **m.** qui lac. sign. habet ante *μᾶλλον*: „suspicari possis aliquid de instante Demetrii profectione excidisse, qua memorata scriptor pergere potuit *⟨μὴ σύ γε, ἀλλὰ μεῖνον εἰς τὴν ἐπιοῦσαν ἢ⟩μᾶλλον.*" Mein. Fort. Alciphro scripsit *μεῖνον ⟨οὖν βασιλεῦ⟩*, quibus receptis contextus quidem satis abruptus remaneret, sed hoc Lamiae imputandum videtur, cf. § 8 hujus ep. Proponit dubitanter *⟨ἢ⟩μᾶλλον μεῖνον* Palak. — *ταῦτα ⟨τὰ⟩* Mein.] *[ταυ]τὰ* **h.**, sed subintellige potius *ταῦτα ⟨ἃ οἶσθα⟩*. Plena haec dictio adest III 23 [III 59] § 1. — *ἔχω*] om. **C.** — *ἀεὶ τὰ—νικᾶν* Cob.] *εἰ—νικᾷ codd. Vulg.* **s.**, unde *εἰ—νικᾶται* Bergl. („non male." Mein.), *εἰ—νικῶ* Reisk. quod rec. **m.** Sed jam Hemst. conjecit *ἀγῶνα ἔχω τὰ πρ. τ. ὑστ. νικᾶν* quod prob. Herm. rec. **h.** Cum Cobeto *εἰ* codicum non prorsus omittendum, verum levi correctione in *ἀεὶ* mutandum putavi. — § **4.** *δή σε Flor. Δ Leid.* rec. **s. m. h.**] *δή σε* mutatum in *δέ σε Κ*, *δέ σε Vulg.* — *ἐπαφροδίτως*] *ἐπαφρ . . . . τως Π.* — *ἐπιφανῶς* Reisk. Jacobs. ser. misc. IV p. 537, rec. **s. m. h.**] *πιθανῶς codd. Vulg.* **b.**, quod frustra defend. Herm. mutato sq. *παρουσιάσαι* in *παρρησιάσαι*. Vel sqq. *καὶ γάρ—ὑπὸ σοῦ* indicant Reiskium recte emendasse. Etiam verba *ὡς ἔνι μάλιστα* inepta, ne dicam ridicula, essent recepto *πιθανῶς.* — *καὶ γάρ—ὑπὸ σοῦ* Seil. **m.**] *ἄν μοι περιουσιάσαι γένηται ὑπὸ σοῦ codd.* praeter *Leid.* ubi *περιουσιῶσαι* quod rec. *Vulg.* et **b.** Recte tamen *περιουσιάσαι* restituit Bergl. quod prob. Hemst. rec. **w. s. m.** confirm. cett. codd. Frustra igitur *ἀρμοῖ γὰρ ἐν περιουσίαις γεγένημαι ὑπὸ σοῦ* Reisk., *καὶ γάρ μοι περιουσία γεγένηται ὑπὸ σοῦ* **h.**, qui deinde pro *ὑπὸ* proponit *παρά.* „possis etiam *ἐπεί μοι* pro *ἄν μοι.*" Mein., sed Seil. locum persanasse videtur. — *ἀγαθῶν*] *ἀγκαλῶν* Fried. cl. IV 15 [II 3] § 9 ubi tamen nunc *αὐλάς* restitutum est. — *πεποιηκυίᾳ* Bergl. rec. edd. sqq.] *πεποιηκυῖα codd. Vulg.* **b.** — *σοῦ γε* Bergl. Hemst. rec. edd. sqq.] *σοῦ τε codd. Vulg.* — *ἐμῷ*]

m. pag. 29 ποιοῦσιν. ἐμοὶ γὰρ ἐξ ἐκείνου, μὰ τὴν Ἄρτεμιν, οὐδὲ προσέβλεψαν ἔτι
s. pag. 56 πολλοὶ [οὐδὲ ἐπείρασαν] αἰδούμενοί σου τὰς πολιορκίας. ὀξύς ἐστιν Ἔρως, ὦ βασιλεῦ, καὶ ἐλθεῖν καὶ ἀναπτῆναι. ἐλπίσας πτεροῦται, καὶ
6 ἀπελπίσας ταχὺ πτερορρυεῖν εἴωθεν [ἀπογνωσθείς]. διὸ καὶ μέγα τῶν ἑταιρουσῶν ἐστι σόφισμα, ἀεὶ τὸ παρὸν τῆς ἀπολαύσεως ὑπερτιθεμένας ταῖς ἐλπίσι διακρατεῖν τοὺς ἐραστάς. [πρὸς ὑμᾶς δὲ οὐδὲ ὑπερτίθεσθαι ἔξεστιν, ὥστε φόβον εἶναι κόρον.] λοιπὸν ⟨οὖν⟩ ἡμᾶς δεῖ τὰ μὲν πονεῖν, τὰ δὲ μαλακίζεσθαι, [τὰ δὲ ᾄδειν, τὰ δὲ αὐλεῖν, τὰ δὲ ὀρχεῖσθαι,] τὰ δὲ δειπνοποιεῖν, τὰ δὲ κοσμεῖν [σοι] τὸν οἶκον, τὰς [δὲ] ὁπωσοῦν ἄλλως ταχὺ μαραινομένας μεσολαβούσας χάριτας, ἵνα μᾶλλον ἐξάπτωνται τοῖς διαστήμασιν εὐαλούστεραι αὐτῶν αἱ ψυχαί, φοβουμένων μὴ ἄλλο πάλιν

„Atticus omisisset." Cob. — § **5.** *οὐδὲ προσέβλεψαν*] *οὐδὲ προσέπεμψαν Flor. Π cod. Dorv.* rec. **h.**, qui deinde intellecto *οὐδὲ—οὐδὲ* vix bonum praebere sensum, requirebat *οὔτε—οὔτε*. Totam sententiam sic rescribit Hirsch.: *οὐδεὶς οὐδὲν προσέπεμψεν* [*ἔτι πολλοὶ*] *οὐδ' ἐπείρασεν αἰδούμενός σου τ. π.* Sed neque cum *οὐδὲ προσέπεμψαν* (ut concedit Herch.), neque (ut animadvertit Cob.) cum *οὐδὲ προσέβλεψαν* apte jungitur sq. *οὐδὲ ἐπείρασαν*, quod potius cum Cob. delendum erat. — *ἀναπτῆναι*] *ἀποπτῆναι* **h.**, quod recepissem nisi Aristaenetus (qui II 1 haec omnia usque ad *ἐραστάς* sua fecit) exhiberet *ἀναπτ.* Rhetor respexisse videtur Plat. Phaedr. p. 246 sqq., quod etiam comprobatur verbis *πτεροῦσθαι* et *πτερορρυεῖν*, cf. v. c. Plat. l. l. p. 246 c, 248 c. Sed verba inepta *ὀξύς-ἀναπτῆναι* vereor ut integra sint. — *καὶ* ante *ἀπελπίσας*] del. **h.**, sed cf. v. c. IV 12 [I 40] ubi *καὶ* frustra del. Hirsch. — *ἀπελπίσας*] del. Machl. Malui cum Cob. et **h.** inducere sq. *ἀπογνωσθείς*, quod etiam verborum concinnitatem turbabat. — § **6.** *διακρατεῖν*] *διάγειν* Cob., sed 'detinere' *vers. lat.* recte ut videtur. — [*πρὸς—κόρον*] del. **m. h.** Jacobsium secuti. „apertum est interpolatorem ipsas compellare meretrices." Mein. Ex his verbis insiticiis *οὐδὲ* et *εἶναι* om. **C.** Pro *ὥστε φόβον εἶναι κόρον* voluit *ὡς πεφοβημέναι κόρον* Bergl., *φοβουμέναις κόρον* Reisk. Ipsa verba satis mira interpolatorem produnt. — *λοιπὸν*] 'jam', cf. I 17 [I 14] § 3. Recte Herch. ⟨*οὖν*⟩ supplevit. — *πονεῖν* Arnald. rec. **w.** probb. Mein. Herm.] *ποιεῖν codd. Vulg.* **b. s. m.**, ⟨*ἱερὰ*⟩ *ποιεῖν* Reisk., ⟨*τι*⟩ *ποιεῖν* Mein. deinde tamen Arnaldo accedens. Recte!: „*πονεῖν* gegensatz zu *μαλακίζεσθαι*." Herm. Edidit *σκώπτειν* Herch. qui in sqq. *τὰ δὲ μαλακίζεσθαι* post *ὀρχεῖσθαι* collocat. Malui cum Jacobs. *Vulg.* **b. m.** expungere verba *τὰ δὲ ᾄδειν—ὀρχεῖσθαι*, quae om. *codd.* praeter *Flor. Π cod. Dorv.* Praeterea cum Bergl. Seil. (etiamque Jacobs. qui *κοσμῆσαι* proposuit) delevi *σοι* post *κοσμεῖν*. Conjecit Mein. omnia verba *τὰ δὲ ᾄδειν—οἶκον* interpolatori deberi. Quibus tamen seclusis sententia exilior quam pro rhetore evaderet, ut recte animadvertit Polak., qui deinde *τὸν οἶκον* dubitabundus inducit. — [*δὲ*] del. Bergl. Ruhnk. **w. s. m. h.** — *μεσολαβούσας*] *μεσοσυλλαβοῦσα* **C.** — *χάριτας* Ruhnk. rec. **w. s. m. h.**] *χρήσεις codd. Vulg.* **b.**, *χρείας* aut *προφάσεις* aut *ἐγχειρήσεις* Reisk. — *τοῖς διαστήμασιν*] *τοῦ διαστήματος Δ* sed suprascripta vulgata. — *εὐαλούστεραι*] *εὐαλωτότεραι* aut *νεαλέστεραι* Lobeck. paral. p. 39, *εὐαλέστεραι* „quod ipse Lobeck. probabiliter Hesychio restituit" Mein. **m.**, *ἁπλούστεραι* **h.** Pro vulg. corrupta cum

7 γένηται τῆς ἐν τῷ παρόντι τύχης κώλυμα. ταῦτα δὲ πρὸς μὲν ἑτέρους
τάχα ἂν ἐδυνάμην, βασιλεῦ, πλάττεσθαι καὶ τεχνιτεύειν· πρὸς δὲ σέ, ὃς
οὕτως ἤδη αὐχεῖς ἐπ' ἐμοὶ ὡς ἐπιδεικνύναι με καὶ ἀγάλλεσθαι πρὸς τὰς
ἄλλας ἑταίρας ὅτι πασῶν ἐγὼ πρωτεύω, μὰ τὰς φίλας Μούσας, οὐκ
* pag. 57 ἂν ὑπομείναιμι [πλάττεσθαι]· οὐχ οὕτως εἰμὶ λιθίνη. ὥστε ἀφεῖσα πάντα
καὶ τὴν ψυχὴν ἐμαυτῆς εἰς τὴν σὴν ἀρέσκειαν ὀλίγον ἡγήσομαι ⟨δε⟩-
8 δαπανῆσ⟨θ⟩αι. εὖ οἶδα γὰρ ὅτι οὐ μόνον ἐν τῇ Θηριππίδου οἰκίᾳ, ἐν
ᾗ μέλλω σοι τὸ τῶν Ἀφροδισίων εὐτρεπίζειν δεῖπνον, ἔσται διαβόητος
ἡ παρασκευή, ἀλλὰ καὶ ἐν ὅλῃ τῇ Ἀθηναίων πόλει, νὴ τὴν Ἄρτεμιν,
καὶ ἐν τῇ Ἑλλάδι πάσῃ. καὶ μάλιστα οἱ μισητοὶ Λακεδαιμόνιοι, ἵνα
δοκῶσιν ἄνδρες εἶναι οἱ ἐν Ἐφέσῳ ἀλώπεκες, οὐ παύσονται τοῖς Ταϋγέ-
τοις ὄρεσι καὶ ταῖς ἐρημίαις ἑαυτῶν διαβάλλοντες ἡμῶν τὰ δεῖπνα καὶ
9 καταλυκουργίζοντες τῆς σῆς ἀνθρωποπαθείας. ἀλλ' οὗτοι μὲν χαιρόντων,
δέσποτα, σὺ δέ μοι μέμνησο φυλάξαι τὴν ἡμέραν τοῦ δείπνου καὶ τὴν
ὥραν ἣν ἂν ἕλῃ· ἀρίστη γὰρ ἣν ⟨σὺ⟩ βούλει. ἔρρωσο.

Lobeckio *εὐαλωτότεραι* scribendum esse videtur. — § **7.** *δὲ*] *δὴ?* — *ἑτέρους* Bergl., confirm. *Flor. Π K*, rec. **w. s. m. h.**] *ἑταίρους* cett. codd. *Vulg.* **b.** — *πλάττεσθαι* Bergl., rec. **s. m. h.**] *φυλάττεσθαι codd. Vulg.* **b. w.**, *φυλάττειν* Jacobs. scr. misc. IV p. 538, del. Keilius. Conjectura Bergleri non tantum apodosi firmatur, verum etiam quia ita revixit h. l. illa synonymorum conjunctio quam Alc. tantopere amat, vid. ad I 13 [III 3] init. — *αὐχεῖς* Polak. Maehl.] *ἔχεις codd.* (praeter **C** qui *ἔχει*) *edd.* Rescripsit hanc sententiam Reisk.: *ὃς οὕτως ἀφειδῆ ἐκχεῖς ἐπ' ἐμὲ τὸν σὸν πλοῦτον.* — *ὡς*] *ὥστ'* Cob. **h.**, sed vid. ad I 9 [I 9] § 2. — *πασῶν*] *πᾶς Flor.* — [*πλάττεσθαι*] del. Hirsch. Polak. — *λιθίνη*] *ἠλιθία* Nab. Post hanc vocem plene interp. *Vulg.* **s.**, quod male Mein. sustulit, Herch. recte revocavit. — *ἀφεῖσα*] *ἀφ . . . . σα Flor.*, *ἀφεῖσά σοι* Reisk. quia in sqq. *εἰς ἀρέσκειαν* inveniebat in *Vulg.* **b.** Malui *εἰς τὴν σὴν ἀρ.* scribere cum *Flor.* **s. m. h.** Exhibet *εἰς τὴν ἀρ. cod. Dorv.*, *εἰς ἀρ. σου* Bergl. **w.**, *εἰς σὴν ἀρ.* Bergl. altera conject. — *⟨δε⟩δαπανῆσ⟨θ⟩αι* Mein. recte, vid. ad III 14 [III 50] § 1. Proposuit *δαπανήσασα βλάπτεσθαι* Reisk. — § **8.** Haec male cum praeced. cohaerere videntur. Fort. tamen hoc Lamiae tribuendum est, ut *μεῖνον* in § 3. Proponit *⟨ἀλλ'⟩ εὖ οἶδα γὰρ* Polak., ut Lamia ita redeat ad invitationem § 3. — *οὐ*] om. **C** *K.* — *Θηριππίδου* Bergl. probb. Cob. Herm. Herch.] *Θηριπίδου Vulg.* **b.**, *Θηριππιδίου cod. Dorv. Flor. Δ* **w. s. m. h.** Ad nomen Herm. confert III 5 [III 8]; ad rem cf. IV 11 [I 39] fin. — *ἔσται*] *ἔστι Flor.* — *Ἀθηναίων*] del. Cob., sed recte Hirsch. defend. cl. IV 14 [II 2] § 6. Adde IV 16 [II 4] § 13. — *πάσῃ* add. *Flor. cod. Dorv.* **w. s. m. h.** — *οἱ μισητοὶ*] *οἱ θεοῖς μισητοὶ* Reisk. sine justa causa. — Ante *τοῖς Ταϋγέτοις* intrudit *ἐν* Seil. rec. **m. h.**, sed nil mutandum erat. Montes tantum et solitudines Lacedaemoniorum in Demetrium insimulationes audient. — *ὄρεσι*] del. Reisk. — *καὶ* ante *καταλ.* add. *Flor. Π Δ*, rec. **s. m. h.** — § **9.** *οὗτοι* Cob.] *αὐτοὶ codd. edd.* vix recte. — *χαιρόντων*] *κλαόντων* dubitanter Reisk. *Vulg.* sana esse videtur. — *δέ μοι* **h.**] *δὲ ἐμοὶ codd. Vulg.* **s. m.**, sed est dat. eth. — *τοῦ*] *αὐτοῦ Π Δ* **C** *K.* — ⟨*σὺ*⟩ Cob. recte omnino.

14 [II 2].

m. pag. 30 **Λεόντιον Λαμίᾳ.**

Οὐδὲν δυσαρεστότερον, ὡς ἔοικεν, ἐστὶ πάλιν μειρακευομένου πρεσ-
s. pag. 58 *βύτου. οἷά με Ἐπίκουρος οὗτος διοχλεῖ πάντα λοιδορῶν, πάντα ὑποπ-*
2 *τεύων, ἐπιστολὰς ἀδιαλύτους μοι γράφων, ἐκδιώκων ἐκ τοῦ κήπου. μὰ τὴν Ἀφροδίτην, εἰ Ἄδωνις ἦν, ἤδη ἐγγὺς ὀγδοήκοντα γεγονὼς ἔτη, οὐκ ἂν αὐτοῦ ἠνεσχόμην φθειριῶντος καὶ φιλονοσοῦντος καὶ καταπεπιλημένου εὖ μάλα πόκοις ἀντὶ πίλων. μέχρι τίνος ὑπομενεῖ τις τὸν φιλόσοφον τοῦτον; ἐχέτω τὰς περὶ φύσεως αὐτοῦ κυρίας δόξας καὶ τοὺς διεστραμμένους κανόνας, ἐμὲ δὲ ἀφέτω τὴν φυσικῶς κυρίαν ἐμαυτῆς ἀστομάχητον*
3 *καὶ ἀνύβριστον. ὄντως ἐγὼ πολιορκητὴν ἔχω τ[οι]οῦτον, οὐχ οἷον σὺ*

---

14 [II 2].

§ **1.** *ἐστὶ πάλιν*] *ἐστὶν ἄρτι πάλιν Flor. Π Δ* **C** *K* rec. **m.**, sed recte Cob.: „*ἄρτι* vitiosum est, nam haec quoque insania ab initio tolerabilior est viresque acquirit eundo", ipse proponens *ἄρα*. At *ἄρα* post *ὡς ἔοικεν* satis otiosum esset. Defend. *ἄρτι* Mein. cl. Lob. ad Phryn. p. 18 sq., Herm. cl. II 7 [I 28] § 1 fin. (ubi tamen sine dubio *γενειάζειν* recte restitutum est), Polak. qui (cl. eadem ep.) vult *ἐστὶν ἄρτι* [*πάλιν*]. — *μειρακευομένου*] *μειρακιευομένου* **b. w.** — *διοχλεῖ* Cob. Polak.] *διοικεῖ codd. Vulg.* **s. m.**, *διώκει* Maehl. (sed cf. sq. *ἐκδιώκων*), *διέθηκε* Cob. etiam, *ἀδικεῖ* **h.** — *ἀδιαλύτους codd. Vulg.* **b. w.**] *ἀδιαλείπτους* Arnald. Misc. Obss. V p. 275 rec. **s. m.**, *διωλυγίους* Cob. **h.**, *ἀδιανύτους* Herm. Defend. vulg. Bergl. cl. Thuc. I 132 fin. ubi *λύειν τὰς ἐπιστολάς*, Luc. Pseudomant. 20 *σφραγίδων λύσεις*, ad quae tamen recte Hemst.: „*διαλύειν* ita poni fuerat probandum." Vulg. quamvis corruptam retinui; possis etiam *ἀτελεύτους* cl. Aesch. Ag. 1451 vel *ἀτελευτήτους* cl. v. c. Plut. consol. Apoll. p. 113 f. — *ἐκ τοῦ κήπου*] *ἐκ τ' Ἰώνων ἔκ τε τοῦ κήπου* Arnald. l. l. Nil mutandum videtur. — § **2.** *ἤδη*] *μήδ'* Nab., sed tota haec sententia vix recte cogitata est; nec quicquam proficeremus mutato *ἤδη* in *μήδ'*. — *γεγονὼς*] om. *Π* **C** *K.* — *ὑπομενεῖ*] *ὑπομένει* **h.** vix recte, cf. v. c. III 9 [III 45] § 3. — *τὰς*] *τὰ* in **h.** est typoth. vitium. — Edebatur *αὐτοῦ*. — *ἀφέτω* Bergl. rec. **s. m. h.** confirm. *Flor. K*] *ἐφέτω* cett. codd. *Vulg.* **b.** — *φυσικῶς* Dorvill. Hemst. rec. **w. s. m. h.** confirm. *Flor. Δ K*] *μουσικῶς Vulg.* **b.**, *φωσικῶς cod. Dorv.* Ad lect. rec. Hemst. cf. Athen. XII p. 548 a. „Apprime convenit *ταῖς περὶ φύσεως κυρίαις δόξαις*, ut bene Wagn. animadvertit." Seil. — *ἀστομάχητον*] *ἀνενόχλητον* Lennep. ad Phalar. p. 332 rec. **w. s.**, *ἀστόβαστον* („i. e. *ἀλοιδόρητον*, vox forte Epicuro usitata, vid. Hesych. s. v. *ἄστοβον, στοβάζειν* cett. Etym. in v. *ἐστόβευν* p. 385 vs. 19.") Hemst., *αὐτομάχητον* **m.** (quae vox mihi quidem aliunde non cognita est), *ἀστονάχητον* 'lamentis liberam' Maehl., *ἐραστομάχητον* Nab. (quam vocem non magis cognovi quam *αὐτομάχητον*). Defend. vulg. Wilh. Dindorf. in Philol. XII p. 192 cl. Boeckh. C. I. Gr. III 6647, Reines. inscr. lat. XII 124. Vocem integram esse censet etiam Polak. Fort. recte, quamquam non male *ἀνενόχλητον* Lennep., synonymum ad *ἀνύβριστον*, vid. I 13 [II 13] init. — § **3.** *ἐγὼ πολιορκητὴν* **h.**] *ἐπιπολιορκητὴν Vulg.* **s. m.** et *codd.* (praeter **C** *K* qui *ἐπιπολιορτήν*), unde *Ἐπίκουρον πολιορκητὴν* Lennep. l. l., [*ἐπι*]*πολ.* aut *τι πολιορκ.* Reisk., *ἐπιπόλιον πολιορκ.* Seil., *εἰπεῖν πολιορκ.* Metr. Graviter corrupta haec videntur Meinekio, qui, post *ὄντως* nonnulla excidisse credens, deinde ita pergit *ἐπεὶ πολιορκ. ἔχ. τοιοῦτον κ. τ. λ.* Malui Hercherum sequi: *ἐγὼ* opponitur *σὺ* insequenti. — *τ[οι]οῦτον*

Λάμια Δημήτριον. μὴ γὰρ ἔσται σωφρονῆσαι διὰ τὸν ἄνθρωπον τοῦτον; καὶ σωκρατίζειν καὶ στωμύλλεσθαι θέλει καὶ εἰρωνεύεσθαι, καὶ Ἀλκιβιάδην τινὰ τὸν Πυθοκλέα νομίζει καὶ Ξανθίππην ἐμὲ οἴεται ποιήσειν. [καὶ] πέρας ἀναστᾶσα ὁποίποτε γῆν πρὸ γῆς φεύξομαι μᾶλλον ἢ τὰς

4 *ἐπιστολὰς αὐτοῦ τὰς ἀδιαπαύστους ἀνέξομαι. ὃ δὲ πάντων δεινότατον ἤδη καὶ ἀφορητότατον τετόλμηκεν, ὑπὲρ οὗ καὶ γνώμην βουλομένη λαβεῖν τί μοι ποιητέον ἐπέσταλκά σοι· Τίμαρχον τὸν καλὸν οἶσθα τὸν* a pag. 59 *Κηφισιᾶθεν. οὐκ ἀρνοῦμαι πρὸς τὸν νεανίσκον οἰκείως ἔχειν ἐκ πολλοῦ — πρὸς σέ μοι τἀληθῆ λέγειν εἰκὸς Λάμια — καὶ τὴν πρώτην ἀφροδίτην ἔμαθον παρ' αὐτοῦ σχεδόν· οὗτος γάρ με διεπαρθένευσεν ἐκ γειτόνων*

5 *οἰκοῦσαν. ἐξ ἐκείνου τοῦ χρόνου πάντα μοι τἀγαθὰ πέμπων οὐ διαλέλοιπεν, ἐσθῆτα, χρυσία, θεραπαίνας θεράποντας, Ἰνδὰς Ἰνδούς. τἄλλα*

Maehl.] *οὐχὶ τοιοῦτον οἷον* Gloss. Eichst. prob. Seil. (qui tamen *οὐ* pro *οὐχί*), sed correlativum librario deberi recte animadvertit Maehl. — *ἔσται* Polak.] *ἔστι codd. edd.* fere sine sensu. — *σωφρονῆσαι* Bergl. rec. **w. s. m. h.** confirm. *Flor.*] *σωφρονίσαι* cett. codd. *Vulg.* — *στωμύλλεσθαι* Cob. **h.**] *στωμυλεύεσθαι codd. Vulg.* **s. m.** „fefellit librarium *ἡ παρήχησις.*" Cob. — *τινὰ τὸν* Cob. **h.**] *τινὰ ἢ codd. Vulg.* **b.**, del. *ἢ* Medenb.-Wakk. amoen. litt. p. 23 et **w. s. m.**, *τὸν* deleto *τινὰ* Hirsch., cui haec non Graeca videntur nisi adjecto *εἶναι*. Expungit igitur *νομίζει* legens *Ἀλκιβιάδην τὸν Πυθοκλέα καὶ Ξανθίππην ἐμὲ οἴεται ποιήσειν.* At passim *νομίζειν* omisso *εἶναι* invenitur; apud nostrum legitur I 12 [I 12] § 2. — [*καὶ*] expunxi. Ante hanc voculam verba nonnulla deesse credit Mein. sed deleto *καὶ* omnia recta videntur. Verte 'postremo'. — *ἀναστᾶσα*] *ἀναπτᾶσα* Nab. cl. ep. sq. § 17, Arist. Av. 169, sed nil mutandum duxi. — *ὁποίποτε* Cob. confirm. nunc *Π* (ubi *ὅποι ποτε*)] *ὅπῃ ποτὲ* cett. codd. *edd.* Cf. Plat. Axioch. p. 365 c. — *ἀδιαπαύστους* Seil. rec. **m. h.** confirm. *Flor. Π*] *διαπαύστους Δ*, *διασπάστους* cett. codd. *Vulg.* **s.**, *ἀδιαπτύστους* Herm. frustra. — § **4.** *ὃ δὲ*] *ὁ δὲ* **m. h.**, sed malui in sqq. pro vulg. *σοι.* scribere *σοι·* cum Polak. — *τετόλμηκεν Flor.* **m. h**] *τετόλμησεν Π, ἐτόλμησεν* cett. codd. *Vulg.* **b. s.** — Ante *γνώμην* add. *τὴν σὴν* **h.**, post *γνώμην* add. *σου* **m.**, quo tamen admisso *τὴν* ante *γνώμην* aegre careas. Fort. nil deest. „Att. *συμβουλεύσασθαι.*" Cob. — *λαβεῖν*] *μαθεῖν* Hirsch., sed *Vulg.* sana videtur. — *Κηφισιᾶθεν* Seil. **m. h.**] *Κηφισιάθεν codd. Vulg.* **s.** — *νεανίσκον οἰκείως cod. Dorv. Flor.* **s. m. h.**] *νεαν. οὐκ οἰκ.* cett. codd. *Vulg.*, unde *οὐκ ἀνοικείως* Mein. sine justa causa. In nonnullis libris ante *οἰκ* dittogr. *οὐκ* ortum esse videtur. — *τἀληθῆ*] *τάλη* (sic!) *Flor.* — *λέγειν εἰκὸς*] om. *Flor. Π Δ* **C** *K.* — Verba *καὶ τὴν — σχεδὸν* aut delenda aut transponenda post *οἰκοῦσαν* censet Herch., cui recte refragatur Nauck. ipse proponens *κ. τ. πρ. ἀ. ἔμ. παρ' αὐτοῦ, σχεδὸν ἐκ γειτόνων οἰκοῦσα* vel potius *οἰκοῦντος* deletis cett. Deinde etiam *ἔμαθον* corruptum putat *ἐμυήθην* requirens. Haec omnia tamen integra videntur (quamquam *σχεδόν*, quod epico sensu olim ad *ἐκ γειτόνων* adscriptum esse censet Polak., revera satis otiose additum est), neque *ἐκ γειτ. οἰκ.* mutandum est, quamvis expectes *ἐν γειτ. οἰκ.* cum Cob. qui et ipse nil mutat: „deceperunt Alciphronem loci qualis Lys. I 14." Cf. praeterea fr. V [VI] § 18. Frustra igitur *ἐκ γειτόνων ἤκουσαν* Metr. — § **5.** *χρυσία* **m. h**] *χρυσεῖα codd. Vulg.* **s.** Ad lect. rec. cf. v. c. IV 8 [I 36] § 4. — *ἐσθῆτας?* — *Ἰνδὰς Ἰνδούς* **m.**]

σιωπῶ. ἀλλὰ τὰ μικρότατα προλαμβάνει τὰς ὥρας, ἵνα μηδεὶς φθάσῃ
με γευσάμενος. τοιοῦτον οὖν ἐραστὴν 'ἀπόκλεισον' φησὶ 'καὶ μὴ προσίτω
σοι', ποίοις δοκεῖς αὐτὸν ἀποκαλῶν ὀνόμασιν; οὔτε ὡς Ἀττικὸς οὔτε ὡς
6 *φιλόσοφος, . . . ἐκ Καππαδοκίας πρῴην εἰς τὴν Ἑλλάδα ἥκων. ἐγὼ δὲ*
εἰ καὶ ὅλη γένοιτο ἡ Ἀθηναίων πόλις Ἐπικούρων, μὰ τὴν Ἄρτεμιν, οὐ
m. pag. 31 *ζυγοστατήσω πάντας αὐτοὺς πρὸς τὸν Τιμάρχου βραχίονα, μᾶλλον δὲ*
οὐδὲ πρὸς τὸν δάκτυλον. τί σὺ λέγεις Λάμια; οὐκ ἀληθῆ ταῦτα; οὐ
δίκαιά φημι; καὶ μὴ δή, δέομαί σου πρὸς τῆς Ἀφροδίτης, μή σοι
ταῦτα ἐπελθέτω· 'ἀλλὰ φιλόσοφος, ἀλλὰ ἐπιφανής, ἀλλὰ πολλοῖς φίλοις
κεχρημένος'. λαβέτω καὶ ἃ ἔχω, διδασκέτω δ' ἄλλους. ἐμὲ δὲ οὐδὲν
7 *θάλπει ἡ δόξα, ἀλλ' ὃν θέλω δὸς Τίμαρχον, Λάματερ. ἀλλὰ καὶ δι'*

Ἰνδοὺς Ἰνδὰς codd. Vulg. **s.** et **h.** qui tamen deinde: „*Ἰνδὰς Ἰνδοὺς* propter chiasmum cum Mein. reponendum." — In sqq. ante *γευσάμενος* requirebat *τῆς ὀπώρας* Reisk. „Verba *ἀλλὰ—γευσάμενος* sana esse non possunt, sed nihil video remedii." Mein. *ἀλλὰ σιωπῶ τἆλλα τὰ μικρότερα* jungit Nauck., qui: „das folgende weiss ich nicht zu emendieren." *τἆλλα σιωπῶ τὰ μικρότατα, ἃ προλαμβάνει τῆς ὥρας* Maehl. Libri non discrepant nisi quod pro *προλαμβ.* (quod restituit Bergl. rec. edd. sqq. confirm. *Flor. Π Δ K*) hab. *προσλαμβ. Vulg.* **b.** Si vitium adest latet in verbis *ἀλλὰ—ὥρας*: cetera integra esse crediderim. Verba vulgata sana esse mutata interpunctione: *τἆλλα σιωπῶ. ἀλλὰ τὰ μικρότατα· προλαμβ. τὰς ὥρας κ. τ. λ.* censet Polak. — *οὖν Flor.* **m. h.**] *νῦν* cett. codd. *Vulg.* **s.** — Sqq. lacunosa esse intellexit Reisk., qui lac. sign. posuit post *φιλόσοφος* supplens *ἀλλ' ὡς φορτηγὸς* (vel *ὀνηλάτης*) non male. Receperunt lac. sign. **m. h.** „Supplere possis *ἀλλὰ* sed videntur plura excidisse." Mein. recte: suppleto *ἀλλὰ* post *φιλόσ.* vel (ut Hemst. et postea Seil.) *δὲ* post *Καππαδοκίας* aegre careas *ὡς*. Cum Reisk. igitur addiderim *ἀλλ' ὡς φορτηγὸς* quae verba vides quam facile excidere potuerint. Supplet ⟨*ἀλλ' οἷον*⟩ *ἐκ Καππαδ.* Polak. — *ἐκ*] *ἢ Flor. Π Δ K.* — *πρῴην* Reisk. **s. m. h.**] *πρῶτος codd. Vulg.* **b.**, *πρῶτον* Hemst. — *εἰς* Bergl. confirm. *cod. Dorv.* rec. **s. m. h.**] om. cett. codd. *Vulg.* **b.** — § **6.** *δὲ*] *μὲν Flor. Π Δ* **C** *K.* — *ὅλη γένοιτο*] „malim *μεστὴ* expressum." Reisk., unde *γέμοι* Mein. **m.** fort. recte. Vulg. tamen retinui cl. fragm. VI [V] § 4, ubi *ὅλη σελήνη* 'luna plena'. — *αὐτοὺς*] *αὐτοῖς Flor.* — *πρὸς*] *πρὸ Leid.* — *σὺ* Perizon. confirm. *cod. Dorv. Flor.* rec. **w. s. m. h.**] *σοὶ* cett. codd. *Vulg.* — Sqq. interpunxi cum Polak. Omnia verba *καὶ μὴ δὴ—κεχρημένος* esse respondentis Lamiae putavit Reisk., quem edd. sqq. secuti sunt. At *καὶ* ante *μὴ* ita minime ferri posset, quamobcausam del. **m. h.** Praeterea verba *ἀλλὰ—κεχρημένος* vix apte cum praeced. jungerentur, ut animadvertit Polak. Voluit *καὶ μήν, φής, δέδοικα κ. τ. λ.* R. — *ἐπελθέτω* Cob. **h.**] *ὑπελθέτω codd. Vulg.* **s. m.** „rectius etiam *ἐπέλθῃ* scripsisset." Cob. — *κεχρημένος*] *κεκτημένος* **C** ubi mrg. corr., *κεχρημένοις Leid.* — *καὶ ἃ ἔχω*] verba suspecta: non tantum enim cum Cob. expectes *καὶ ἁγὼ ἔχω*, verum vel sic in hoc contextu vix justum sensum praeberent. Nescio igitur an recte *κατεχέτω* Lennep. ad Phalar. p. 332, quod rec. **w.**, non improbat Mein. Proposuit *προσλαβέτω καὶ οἷς ἔχει* Hirsch. — *δὲ*] *γε* Seil. An *γάρ*? — *ἡ* R. **m.**] *τι codd. Vulg.* **s.**, del. **h.** — *δόξα ἀλλ'*] om. *cod. Dorv.* — *ὃν*] *ὃ cod. Dorv. Flor.* — *δὸς*] *δὲ Flor. Π Δ.*

ἐμὲ πάντα ἠνάγκασται ὁ νεανίσκος καταλιπών, τὸ Λύκειον καὶ τὴν pag. 60 *ἑαυτοῦ νεότητα καὶ τοὺς συνεφήβους καὶ τὴν ἑταιρείαν, μετ' αὐτοῦ ζῆν καὶ κολακεύειν αὐτὸν καὶ καθυμνεῖν τὰς ὑπηνέμους αὐτοῦ δόξας. ὁ ⟨δ'⟩ Ἀτρεὺς οὗτος 'ἔξελθε' φησίν 'ἐκ τῆς ἐμῆς μοναγρίας καὶ μὴ πρόσιθι Λεοντίῳ'. ὡς οὐ δικαιότερον ἐκείνου ἐροῦντος 'σὺ μὲν οὖν μὴ πρόσιθι*
8 *τῇ ἐμῇ'. καὶ ὁ μὲν νεανίσκος ὢν ἀνέχεται τὸν ὕστερον ἀντεραστὴν γέροντα, ὁ δὲ τὸν δικαιότερον οὐχ ὑπομένει. τί ποιήσω, πρὸς τῶν θεῶν ἱκετεύω σε Λάμια. νὴ τὰ μυστηρια, νὴ τὴν τούτων τῶν κακῶν ἀπαλλαγήν, ὡς ἐνθυμηθεῖσα τοῦ Τιμάρχου τὸν χωρισμὸν ἄρτι ἀπέψυγμαι*
9 *καὶ ἵδρωκα τὰ ἄκρα καὶ ἡ καρδία μου ἀνέστραπται. δέομαί σου, δέξαι με πρὸς σεαυτὴν ἡμέρας ὀλίγας, καὶ ποιήσω τοῦτον αἰσθάνεσθαι πηλίκων ἀπέλαυεν ἀγαθῶν ἔχων ἐν τῇ οἰκίᾳ ἐμέ. οὐκέτι φέρει τὸν κόρον, εὖ*

---

§ **7.** *νεότητα*] Corruptum censet Cob. Conjecit *σεμνότητα* Metr. parum probabiliter. Verba *νεότητα*, *συνεφήβους* et *ἑταιρείαν* fere synonyma esse videntur. — ⟨*δ'*⟩ **m. h.** — *Ἀτρεὺς*] *Ἀγρεὺς* Maehl. cl. sqq. *ἔξελθε—μοναγρίας*, sed nulla est justa mutandi causa. — *μοναγρίας*] *μοναρχίας* Bergl., quod habet speciem: *μοναγρία* enim sensu 'loci ubi venandi jus uni soli competit' (ut vertit Wagn.) aliunde plane ignotum est; sensu autem 'agri solitarii' (ut explicat Seil. Bastium secutus) minus sententiae convenit. — *καὶ*] *ἢ* Mein. — *μὴ*] om. **C**. — § **8.** *ὕστερον Flor.* **m.**] *ἕτερον* cett. codd. *Vulg.* **s.**, *πέπειρον* del. sq. *γέροντα* Metr., *γεραίτερον* del. sq. *γέροντα* **h**. Meinekio accedo censenti ipsam sententiam flagitare *ὕστερον*: non male enim opponitur *δικαιότερον*, quia *ὁ πρότερος ἐραστὴς καὶ ὁ δικαιότερός ἐστιν*. — *πρὸς—ἱκετεύω σε*] *πρὸς τὸν θεὸν ἱκετεύσω* **C**, *πρὸς τὸν θεὸν ἱκετεύω* om. *σε K*. — *τὴν* add. *cod. Dorv. Flor. K Δ* rec. **w. s. m. h.**] om. cett. codd. *Vulg.* **b.** — *ὡς ἐνθυμ.*] *παρενθυμ.* Reisk. „male tentat haec Reisk." Mein., qui ad *ὡς* cf. IV 15 [II 3] § 1. Adde I 9 [I 9] § 1. — *κ. ἵδρωκα τὰ ἄκρα* **m. h.**] *καὶ ἱδρῶ καὶ τὰ ἄκρα codd. Vulg.* **s.**, *κ. ἵδρωκε τ. ἄκρα* R., *κ. ἱδρῶ κατάκρας* Porson. in advers. p. 63 (p. 55 Lips.), *καὶ ἱδρῶ κατὰ τὰ ἄκρα* vel *κ. ἱδρῶ [καὶ] τὰ ἄκρα* Lennep. ad Phal. 13 p. 27 quorum hoc prob. Hemst. qui ipse *καὶ ἱδρῶ δειλάκρα* proposuit cl. Longin. c. 10, *ἄρτι ἱδρῶ καὶ ἀπέψυγμαι τὰ ἄκρα* Majus Hist. de la rép. des lettr. XI p. 145, *καὶ ἰδίω τ. ἄκρα* Cob., *καὶ ἱδρῶς καταρρεῖ* Herm., defend. vulg. Seil. vertens 'sudo vel in extremis partibus' vix recte. Sine dubio Alc. scripsit *ἵδρωκα*, quod et codd. suadent et post *ἀπέψυγμαι* aptum videtur. Passim enim noster usurpat *κέχρημαι* pro *χρῶμαι*, *κεκλήσομαι* pro *κληθήσομαι*, *δεδήσονται* pro *δεθήσονται*. Quin h. l. *ἵδρωκα* pro *ἱδρῶ* vel *ἰδίω*? Per *τὰ ἄκρα* intelligenda videntur *τὰ ἀκρωτήρια* (ut III 11 [III 47] § 2) quae Thuc. II 49 explicat *ἄκρας χεῖρας καὶ ἄκρους πόδας*, sed fort. *κατάκρας* cum Porsono recipiendum est. — § **9.** *ἀπέλαυεν* Cob.] *ἀπήλαυεν codd. edd.* male, cf. v. c. III 17 [III 53] § 2. — *ἐμέ* scripsi] edebatur *με*. — Verba *οὐκέτι—πρεσβευτὰς* (ita *Vulg.* **b. s. h.**: in *Flor. II Δ K* ante *οὐκέτι* additur *καὶ*) suspecta sunt Meinekio qui pro *κόρον* requirit *χωρισμὸν* non sine specie. In *vers. lat.* legitur 'non amplius fert contemptum sat scio', sed *κόρον* per 'contemptum' vix recte vertitur. Scribendum esse *καὶ οὐκέτι φέρων τὸν κόρον, εὖ οἶδα, πρεσβ.* conjecit Hirsch. frustra: verba haec non lucidiora sunt vulgatis, neque recte *φέρει* tentasse

οἶδα· πρεσβευτὰς εὐθὺς πρὸς ἡμᾶς διαπέμψεται Μητρόδωρον καὶ Ἕρμαρχον καὶ Πολύαινον. ποσάκις οἴει με, Λάμια, πρὸς αὐτὸν ἰδίᾳ παραγενομένην εἰπεῖν 'τί ποιεῖς Ἐπίκουρε; οὐκ οἶσθα ὅτι διακωμῳδεῖ σε Τιμοκράτης ὁ Μητροδώρου . . . . ἐπὶ τούτοις ἐν ταῖς ἐκκλησίαις, ἐν τοῖς θεάτροις, παρὰ τοῖς ἄλλοις σοφισταῖς;' ἀλλὰ τί ἔστιν αὐτῷ ποιῆσαι;
s. pag. 61 *ἀναίσχυντός ἐστι τὸ ἐρᾶν. καὶ ἐγὼ τοίνυν ἔσομαι ὁμοία τις αὐτῷ [ἀναίσχυντος] καὶ οὐκ ἀφήσω τὸν ἐμὸν Τίμαρχον. ἔρρωσο.*

15 [II 3].

Μένανδρος Γλυκέρᾳ.

Ἐγὼ μὰ τὰς Ἐλευσινίας θεάς, μὰ τὰ μυστήρια αὐτῶν, ἅ σοι καὶ
m. pag. 32 *ἐναντίον ἐκείνων ὤμοσα πολλάκις, Γλυκέρα, μόνος μόνῃ, ὡς οὐδὲν ἐπαίρω τἀμὰ οὐδὲ βούλομαί σου χωρίζεσθαι, ταῦτα καὶ λέγω καὶ γράφω.*
2 *τί γὰρ ἐμοὶ χωρὶς σοῦ γένοιτ' ἂν ἥδιον; τίνι δ' ⟨ἂν⟩ ἐπαρθῆναι μείζονι*

---

videtur v. d., vid. ad II 37 [III 39] § 2. Leontium volebat, ut videtur, aut 'tunc non amplius superbiet', aut 'non feret, sat scio, meam discessionem.' Proponit *οὐκέτι φέρει τὸν πόνον* (cl. Anth. Pal. V 74, 4) dubitanter Polak. — *πρεσβευτὰς*] „Athenienses libentius *πρέσβεις* dicunt." Cob. — *Μητρόδωρον*] *Μητρόδορον Δ.* — *Ἕρμαρχον* Klotz. Act. lit. V p. 367, rec. **s. m. h.**] *Ἕρμαχον codd. Vulg.* **b.** — § **10.** *αὐτὸν*] *ἑαυτὴν Π*, mrg. corr. — *ὅτι*] *ὡς Flor.*, qui deinde hab. lacunam versus dimidii usque ad *ἐπί*. — Post *Μητροδώρου* lac. sign. posui cum *Π Δ K* ubi adest lacuna X fere litt. Non sine specie *ἀδελφὸς* excidisse conjicias, quamquam Alciphro id omisisse potest cl. Eur. Iph. Aul. 769, Lys. XXXII 24, quos locos affert Seil. — Ante Seil. edebatur *ἐστιν*. — *αὐτῷ*] *αὐτὸν* ambiguitatis vitandae causa mavult Mein. rec. **h.** Fort. tamen Alc. vertit 'quid illo facias!' vid. ad I 22 [I 19] § 2. — *τὸ ἐρᾶν*] *ὁ ἐρῶν* R. „Siquid mutandum malim *ἀναισχυντός ἐστι γέρων.*" Mein. Pro *τὸ* requirit *τῷ* Polak. — *καὶ ἐγὼ τοίνυν ἔσομαι ὁμοία τις αὐτῷ [ἀναίσχυντος]* scripsi] *κ. ἐ. ἔσομαι τοίνυν ὁμοία αὐτῷ ἀναισχ.* **C** *K*, idem sed *ὁμοία τοίνυν Δ*, *τοίνυν ὁμοία τις Flor. Π*, *τοίνυν ὁμοίως Vulg.* **b.**, *τοίνυν ὅμοια* **s.** et **m.**, qui tamen deinde del. *τοίνυν*. Induxerunt *ἀναίσχ.* Mein. Cob. prob. Hirsch. (qui praeterea *κἀγὼ γενήσομαι* proponit), rec. *τις* Mein., *τοίνυν* ante *ἔσομαι* collocavit **h.** in ceteris vulg. secutus. Fort. *καὶ* ante *ἐγὼ* expungendum est.

15 [II 3].

§ **1.** In prima sententia cum *Vulg.* **b.** recepi *ἐπαίρω* ex *Flor. Π Δ Leid.* **C** *K*. Habent *ἐπαίρων Ξ Φ* **s. m. h.** Deinde scripsi *βούλομαί* prob. Polak. pro vulg. *βουλόμενός*. Participia defend. Mein. cl. IV 14 [II 2] § 8, sed concedit ipse „duram et impeditam videri posse hanc dicendi rationem omisso verbo *ὄμνυμι*". Delent *ὡς* post *μόνῃ* Cob. **h.** frustra. — *σου χωρίζεσθαι* Bergl. **s. m. h.**] *σοι χαρίζεσθαι codd. Vulg.* **b.** — *καὶ λέγω καὶ γράφω*] *καὶ λέγων καὶ γράφων Φ*. Cogitavi de *καὶ νῦν γράφω* om. cett., sed recte, ut videtur, haec intacta relinquenda censet Polak. — § **2.** *χωρὶς σοῦ* Cob. prob. Maehl.] *χωρίς σου codd. edd.* — *ἥδιον*] *ἡδὺ* aut *ἴδιον* Mein., *ἡδὺ* etiam Hirsch., *ἴδιον* etiam Maehl. — *τίνι δ' ἂν* et deinde *μείζονι*

δυναίμην τῆς σῆς φιλίας; ἐπεὶ καὶ τὸ ἔσχατον ἡμῶν γῆρας διὰ τοὺς
3 σοὺς τρόπους καὶ τὰ ⟨σὰ⟩ ἤθη νεότης ἀεὶ φανεῖταί μοι. καὶ συννεάσαιμεν
ἀλλήλοις καὶ συγγηράσαιμεν, καὶ νὴ τοὺς θεοὺς συναποθάνοιμεν, ἀλλ'
* pag. 62 αἰσθανόμενοι, Γλυκέρα, ὅτι συναποθνήσκομεν, ἵνα μηδετέρῳ ἡμῶν ἐς
ᾅδου συγκαταβαίη τις ζῆλος, εἴ τινων ἄλλων ὁ σωθεὶς πειράσεται
ἀγαθῶν. μὴ δὴ γένοιτό μοι πειραθῆναι σοῦ μηκέτ' οὔσης· τί γὰρ ἂν
4 ἔτι καταλίποιτο ἀγαθόν; ἃ δὲ νῦν ἤπειξέ με ἐν Πειραιεῖ μαλακιζόμενον —
οἶσθα γάρ μου τὰς συνήθεις ἀσθενείας, ἃς οἱ μὴ φιλοῦντές με τρυφὰς
καὶ σαλακωνίας καλεῖν εἰώθασιν — ἐπιστεῖλαί σοι ἐν ἄστει μενούσῃ διὰ
5 τὰ Ἁλῷα τῆς θεοῦ, ταῦτ' ἐστίν· ἐδεξάμην ἀπὸ Πτολεμαίου τοῦ βασιλέως
Αἰγύπτου γράμματα, ἐν οἷς δεῖταί μου πάσας δεήσεις, καὶ προτρέπεται
βασιλικῶς ὑπισχνούμενος τὸ δὴ λεγόμενον τοῦτο τὰ τῆς γῆς ἀγαθὰ....
καὶ ἐμὲ καὶ Φιλήμονα· καὶ γὰρ ἐκείνῳ γράμματα κεκομίσθαι φησί·
καὶ αὐτὸς δὲ ὁ Φιλήμων ἐπέστειλέ μοι τὰ ἴδια δηλῶν ἐλαφρότερα καὶ

Mein. Cob.] τί δὲ et μεῖζον codd. Vulg. **s.**, τίνι δ' et μείζονι **m.**, τί δ' ἂν et μεῖζον **h.**, quod antea voluit Mein. Sed dativ. requiritur. Ad gen. τῆς σῆς φ. Mein. cf. Soph. Ant. 75, Thuc. VI 16 init. Invenitur passim. — ἐπεὶ Seil.] εἰ codd. edd., quod vix intelligo. — ἡμῶν] om. **a. b.** errore. — τὰ σὰ ἤθη Dorvill. **m. h.**] τὰ ἤθη codd. **s.**, ἤθη om. cett. Vulg. **b. w.** — § **3.** συναποθάνοιμεν cod. Dorv. Φ Ξ Δ **C** K **w. s. m. h.**] συνθάνοιμεν Vulg. **b.** — Verba ἀλλ' αἰσθ. — συναποθνήσκομεν add. cod. Dorv. Ξ Φ Flor. **w. s. m. h.**] om. cett. codd. Vulg. **b.** — ἡμῶν] ἡμῖν Ξ Φ. — ἐς Reisk. **m. h.**] ἐν codd. Vulg. **s.** — συγκαταβαίη] om. συγ Ξ. — ζῆλος εἴ τιν. Bergl. edd. confirm. Ξ Φ] ἧλος ἤ τιν. codd. praeter Flor. qui ἧλος om., ζῆλος τίνων Reisk., ζῆλος μή τιν. Mein. — μὴ δὴ] μὴ δὲ Flor. II, unde ὧν μηδὲ Theod. Heysius prob. Herch. At sic ὧν μὴ expectes, neque justa mutandi causa est. — καταλίποιτο Ξ Φ **C s. m. h.**] καταλείποιτο cett. codd. Vulg. **b.**, quod fort. recte mavult Cob. — Ad μαλακιζόμενον 'aegrotantem' cf. II 16 [III 19] § 3. — τρυφὰς Henr. Stephanus prob. Hemst. confirm. cod. Dorv. Ξ Φ Flor. II **C** rec. **w. s. m. h.**] τροφὰς Vulg. **b.** — σαλακωνίας] σαλακωνείας Ξ **m.**, sed recte ut videtur Cob., quem secutus est **h.**, vulg. restituit. Non video cur haec tentaverit Mein. qui ipse Athen. XVI p. 691 f. σαλακωνία intactum reliquit. — ἄστει] ἄστυ Ξ Flor. **C**
οὖ
et Φ (ubi tamen υ mutatum in ει). — τῆς θεοῦ] τῆς θεᾶς **C**, σῆς θεοῦ **h.** — § **5.** ἀπὸ] παρὰ Cob. **h.**, sed cf. v. c. II 23 [III 26] fin. — προτρέπεται] Aut post hoc verb. excidisse v. c. διαβῆναι πρὸς αὐτὸν (cf. IV 16 [II 4] § 4) aut προτρέπεται significare 'ad se invitat' („cujus usus nullum exemplum novi") censet Mein. Transponit post sq. καὶ ἐμὲ **h.**, sed revera aegre h. l. cum Mein. caremus „id ipsum, quod Ptol. a Menandro precibus contenderat". Cum autem m. j. verisimilius sit ea verba excidisse post ἀγαθὰ (post προτρέπεται enim si adderes v. c. διαβῆναι πρὸς αὐτὸν accusativi καὶ ἐμὲ καὶ Φιλήμονα vix placerent), ibi lac. sign. posui. Fort. supplendum est ⟨ἥκειν⟩ cum Polak. — γῆς] om. cod. Dorv. — Post γὰρ desiderabant καὶ Wagn. et Schäfer. — καὶ ἐμὲ codd. **s. m. h.**] om. Vulg. **b.** — φησί Hirsch.] φασί codd. edd., κεκόμισται om. φασί Herelius, σαφές Maehl. Absurdum saltem est φασί, vid. sqq. — δηλῶν] δῆλον ὅτι vel δῆλα δὴ Mein. non

6 *ὡς οὐ Μενάνδρῳ γεγραμμένα ἧττον λαμπρά. ἀλλ' ὄψεται καὶ βουλεύσεται*
τὰ ἴδια οὗτος. ἐγὼ δὲ .... οὐ περιμενῶ βουλάς, ἀλλὰ σύ μοι, Γλυκέρα,
s. pag. 63 *καὶ γνώμη καὶ Ἀρεοπαγῖτις βουλὴ καὶ Ἡλιαία, ⟨καὶ⟩ ἅπαντα νὴ τὴν*
7 *Ἀθηνᾶν ἀεί ⟨τε⟩ γέγονας καὶ νῦν ἔσῃ. τὰς μὲν οὖν ἐπιστολὰς τοῦ*
βασιλέως ⟨ψιλῶς⟩ σοι διεπεμψάμην, ἵνα μὴ κόπτω σε δὶς καὶ τοῖς
ἐμοῖς καὶ τοῖς ἐκείνου γράμμασιν ἐντυγχάνουσαν· ἃ δὲ ἐπιστέλλειν αὐτῷ
8 *ἔγνωκα, βούλομαί σε εἰδέναι. πλεῖν μὲν καὶ εἰς Αἴγυπτον ἀπιέναι μακρὰν*
οὕτως [καὶ] ἀπῳκισμένην βασιλείαν οὖσαν, μὰ τοὺς δώδεκα θεούς,
οὐδὲ ἐνθυμοῦμαι. ἀλλ' οὐδὲ εἰ ἐν Αἰγίνῃ ταυτηῒ τῇ πλησίον ἔκειτο
Αἴγυπτος, οὐδ' οὕτως ἐν νῷ ἂν ἔσχον ἀφεὶς τὴν ἐμὴν βασιλείαν τῆς
σῆς φιλίας μόνος ἐν τοσούτῳ ὄχλῳ Αἰγυπτίων χωρὶς Γλυκέρας ἐρημίαν
9 *πολυάνθρωπον ὁρᾶν. ἥδιον γὰρ καὶ ἀκινδυνότερον τὰς σὰς θεραπεύω*
m. pag. 33 *μᾶλλον αὐλάς, ἢ τὰς ἁπάντων τῶν σατραπῶν καὶ βασιλέων, ⟨ἵν'⟩*
ἐπικίνδυνον μὲν τὸ ⟨ἄγ⟩αν ἐλεύθερον, εὐκαταφρόνητον δὲ τὸ κολακεῦον,

---

sine specie, quamquam malim *ἐλαφρότερα* ('leviora') *δῆλον ὅτι.* — *ὡς οὐ*] *οὐχ ὡς* del sq. *ἧττον λαμπρά* Nab. sine justa causa, ut videtur. — *Μενάνδρῳ*] *Μενάνδρου* *Ξ.* — § **6.** Post *δὲ* lac. sign. posui. Supplet *ἄλλων* Reisk., *αὐτοῦ* Seil. **m.** Praetulerim *ἄλλων,* nam cur de Philemonis consilio h. l. loquatur Menander nulla causa apparet. — *Ἀρεοπαγῖτις*] „pro *ἐξ Ἀρείου πάγου.*" Cob. — ⟨*καὶ*⟩ Cob. **h.** Cf. v. c. ep. sq. § 6 et § 17 (ubi restituit Jacobs.) — ⟨*τε*⟩ add. Cob. **h.** Omitti vix possit. — § **7.** In sqq. post *σοι* inserere volebat ⟨*οὐ*⟩ Reisk., quod ideo non rec. edd. quia ex ep. sq. luce clarius patet Glyceram regis Ptolemaei litteras a Menandro accepisse. At non addito *οὐ* sqq. *ἵνα μὴ κόπτω σε δὶς κ. τ. λ.* mira videbantur ut aliis ita etiam Meinekio, qui conjecit *δὴ* (ironico colore) pro *μὴ* esse scribendum. Malui sequi Polak, qui ingeniose post *βασιλέως* add. ⟨*ψιλῶς*⟩ 'sine explicatione' cl. Plat. Phaedr. p. 262 c, Polyb. VIII 4 § 3. — Post *δὶς* add. *τοῖς αὐτοῖς* Jacobs. scr. misc. IV p. 505 sine justa causa. — *ἔγνωκα βούλομαι Ξ Φ Flor.* **s. m. h.**] *ἔγνωκα βού-*
ν ἂν
